Τῇ κδ' (24η) τοῦ μηνός Μαΐου, Μνήμη τῶν Ἁγίων ἐνδόξων, Νέων Ὁσιομαρτύρων Ἡσαΐου καί Ἱερεμίου, τῶν ἐν τῇ Ἱερᾷ καί σεβασμίᾳ Πατριαρχικῇ καί Σταυροπηγιακῇ Μονῇ τοῦ Πρέβελη, τῇ ἐν τῇ μεγαλονήσῳ Κρήτῃ, μαρτυρικῶς τελειωθέντων ἐν ἔτει 1821.

## Στίχοι

Ἱερεμίαν καί Ἠσαΐαν ἅμα,
Θέμις γεραίρειν μελῳδικῶς τοῖς ὕμνοις.
*Εἰκάδι καί τετάρτῃ πασσάλῳ θάνεν σεπτή δυάς.*

Οὗτοι οἱ μακάριοι τοῦ Χριστοῦ Ὁσιομάρτυρες ἤθλησαν ἐν ἔτει 1821, μηνί Μαΐῳ, τῇ κδ' (24), ἡμέρα Τρίτη, ὅτε συλληφθέντες ὑπό τῶν μιαρῶν Ἀγαρηνῶν, ἐπιδραμόντων κατά τῆς τοῦ Ἀποστόλου καί Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου περιωνύμου Μονῆς, τῆς ἐπιλεγομένης «Τοῦ Πρέβελη», καί δεινῶς βασανισθέντες, ἀνεσκολοπίσθησαν ἐν τόπῳ καλουμένῳ «Κρινέ Παπούρια» ἤ «Κεφάλια», κειμένω πλησίον τῆς τοῦ Προδρόμου Μονῆς (Μετοχίου οὔσης τῆς ὡς ἄνω Ἱερᾶς Μονῆς) καί οὕτω συνήφθησαν τοῖς ἀπ' αἰῶνος Ὁσίοις καί Μάρτυσιν. Ἐτάφησαν δέ ὑπό τοῦ τότε Καθηγουμένου Μελχισεδέκ (τοὐπίκλην Τσουδεροῦ) ἔξω τῆς Ἐκκλησίας τοῦ Τιμίου Προδρόμου, ἐν τῷ ἄνωθεν εἰρημένῳ Μετοχίῳ. Ἐξ αὐτῶν ὁ μέν Ἡσαΐας, τοὐπίκλην Καλογεράκης, πατρίδα ἔσχε τήν κώμην «Μύρθιο», ὁ δέ Ἱερεμίας, τοὐπίκλην Παλληκαράκης, τήν κώμην «Γιαννιοῦ», ἀμφοτέρας κειμένας ἐν τῇ Ἐπαρχίᾳ Ἁγίου Βασιλείου, ἦσαν δέ

ἀμφότεροι, κατά τόν χρόνον τοῦ μαρτυρίου αὐτῶν, προβεβηκότες τῇ ἡλικίᾳ.

## Ἀπολυτίκιον

Ἦχος α', Τοῦ λίθου σφραγισθέντος

Μοναστῶν θεοφρόνων, τήν δυάδα τιμήσωμεν, τούς μαρτυρικῶς πρός τήν δόξαν, τοῦ Θεοῦ ἐκδημήσαντας, τόν θεῖον Ἡσαΐαν ἀδελφοί, σύν τῷ Ἱερεμίᾳ τῷ κλεινῷ, τῆς τοῦ Πρέβελη ἁγίας ταύτης Μονῆς, ἀστέρας τούς σελασφόρους, χαίρετε ἀνακράζοντες αὐτοῖς, οἱ ἐν Ὁσίοις Μάρτυρες, πρόμαχοι ἀκατάληπτοι ἡμῶν, καί ἀντιλήπτορες.